σθεὶς ἀφῇ τὴν ἄγκυραν ταύτην τὴν ἱεράν, κατέπεσέ τε εὐθέως καὶ ἀπεπνίγη, εἰς τὴν ἄβυσσον τῆς κακίας ἐλθών. Ἅπερ εἰδὼς ὁ πονηρός, ἐπειδὰν ἡμᾶς αὐτοὺς τῷ τῶν πονηρῶν πράξεων βαρυνομένους συνειδότι αἴσθηται, ἐπελθὼν καὶ αὐτὸς τὸν ἀπὸ τῆς ἀπογνώσεως λογισμὸν ὄντα μολύβδου βαρύτερον ἐπιτίθησιν· κἂν αὐτὸν παραδεξώμεθα, ἀνάγκη λοιπὸν κατασπασθέντας εὐθέως τῷ βάρει, καὶ τῆς σειρᾶς ἀπορραγέντας ἐκείνης, κατελθεῖν εἰς τὸ βάθος τῶν κακῶν, ἔνθα καὶ αὐτὸς γέγονας νῦν. Τοῦ μὲν πρᾳοῦ καὶ ταπεινοῦ Δεσπότου τὰ προστάγματα ἀφείς, τοῦ δὲ ὠμοῦ καὶ ἀσπόνδου τυράννου [τῆς ἡμετέρας σωτηρίας ἐχθροῦ] τὰ ἐπιτάγματα ἐξανύων ἅπαντα, καὶ τὸν χρηστὸν διαρρήξας ζυγόν, καὶ τὸ φορτίον ἀπορρίψας τὸ ἐλαφρόν, καὶ τοὺς σιδηροῦς ἀντ' ἐκείνων κλοιοὺς περιθείς, ἔτι καὶ τὸν μύλον ἐξήρτησας τὸν ὀνικὸν τοῦ τραχήλου τοῦ σοῦ. Ποῦ οὖν στήσῃ λοιπὸν τὴν ἀθλίαν καταποντίζων ψυχήν, τοῦ κάτω φέρεσθαι διηνεκῶς τοιαύτην σαυτῷ τὴν ἀνάγκην ἐπιθείς; Ἡ μὲν οὖν τὴν μίαν δραχμὴν εὑροῦσα γυνή, τὰς γείτονας ἐκάλει τῆς εὐφροσύνης κοινωνούς, « Συγχάρητέ μοι » λέγουσα· ἐγὼ δὲ τοὺς φίλους ἅπαντας τούς τε ἐμοὺς καὶ τοὺς σοὺς ἐπὶ τοῖς ἐναντίοις παρακαλέσω νῦν, οὐ « Συγχάρητέ μοι » λέγων, ἀλλὰ « Συμπενθήσατε, καὶ θρῆνον ἀναλάβεσθε τὸν αὐτόν, καὶ γοερὸν σὺν ἡμῖν ἀνακράξατε μέλος. Ζημία γὰρ ἡμᾶς ἐσχάτη κατείληφεν, οὐχ ὅτι χρυσοῦ τάλαντα

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id417115326/30 UNIVERSITÄT LEIPZIG